**δακτυλικὸν λογαοιδικόν / dactylicum logaedicum**

Arist. Qvint. *de mus.* I 23 (p. 46. 16 sqq. Winnington-Ingram) καὶ μὴν ἃ μὲν αὐτῶν (*scil.* τῶν μέτρων) ἐστι δίμετρα, ἃ δὲ τρίμετρα, ἃ δὲ τετράμετρα, ἕως ἕξ. ἔτι τὰ μὲν διὰ μόνων τῶν ἰσοχρόνων γίνεται ποδῶν, τὰ δὲ καὶ διὰ πλεοναζόντων τοῖς χρόνοις· καὶ τὰ μὲν δέχεται τοὺς ἰσοχρονοῦντας, εἰ δύναιτο τὴν αὐτῶν διατηρεῖν φύσιν, τὰ δ᾽ οὐχί, ὅσα διὰ ταύτην τὴν αἰτίαν εἰς ἑτέρου μέτρου φαντασίαν περιίσταται. πάλιν τὰ μὲν αὐτῶν ἐξ ὁλοκλήρων ἄρχεται τῶν ποδῶν ὧν τὰς ἐπωνυμίας ἔχει, τὰ δὲ ἐξ ἐλαττόνων, ὡς τὰ λογαοιδικά· καὶ τὰ μὲν ποιεῖται συνεκφωνήσεις συλλαβῶν χρείας ἕνεκεν μέτρου, τὰ δὲ οὐχί. συνεκφώνησις δέ ἐστιν, ὅτε διὰ τὴν τοῦ ποδὸς συμμετρίαν δύο συλλαβὰς σύμφωνον οὐκ ἐχούσας μεταξύ, ἤτοι δύο βραχείας ἀντὶ μιᾶς βραχείας ἢ βραχεῖαν καὶ κοινὴν ἀντὶ κοινῆς (ὅπερ γίνεται σπανίως), πάλιν δύο βραχείας ἢ βραχεῖαν καὶ μακρὰν ἢ κοινὴν καὶ μακρὰν ἀντὶ μακρᾶς παραλαμβάνομεν.

Arist. Qvint. *de mus.* I 24 (p. 47. 26 sqq. Winnington-Ingram) τοῦ δὲ γενικοῦ δακτυλικοῦ πεποιήκασιν οἱ μὲν ταῦτα εἴδη· δίμετρον τρίμετρον τετράμετρον πεντάμετρον· βαίνουσι δέ τινες αὐτὸ καὶ κατὰ συζυγίαν ποιοῦντες τετράμετρα καταληκτικά· τινὲς δὲ κἀν ταῖς πρώταις χώραις μόναις ἀμείβοντες τὸν δάκτυλον καὶ τοὺς ἀνισοχρόνους αὐτῷ τῶν δισυλλάβων τιθέντες ποιοῦσι τὰ καλούμενα λογαοιδικά. τὸ δ᾽ ἀντίστροφον τούτῳ τὸ ἀναπαιστικὸν δέχεται πόδας δάκτυλον (σεμνότερον γὰρ ὑπ᾽ αὐτοῦ γίνεται) καὶ τὸν ἰσόχρονον σπονδεῖον καὶ τὸν προκελευσματικόν· καὶ ἄρχεται μὲν ἀπὸ διμέτρου καὶ προχωρεῖ μέχρι τετραμέτρου· καὶ ὅτε μέν ἐστιν ἁπλοῦν, καθ᾽ ἕνα πόδα γίνεται, ὅτε δὲ σύνθετον, δι᾽ ἣν προείπομεν αἰτίαν, κατὰ συζυγίαν ἢ διποδίαν (διποδία δέ ἐστι ποὺς τετρασύλλαβος· τί δ᾽ ἡ συζυγία, προειρήκαμεν)· καὶ τὰ εἴδη δὲ τῶν καταλήξεων ἐπιδέχεται πασῶν καὶ τὴν τῶν λογαοιδικῶν μέθοδόν τε καὶ χρῆσιν, οὐ κατὰ τὰς πρώτας χώρας μόνον πόδας δισυλλάβους βραχυσημοτέρους παραλαμβάνον, ἀλλὰ καὶ κατὰ τὰς τελευταίας τὸν βακχεῖον.

Hephaest. 24. 1 sqq. ἔστι δέ τινα καὶ λογαοιδικὰ καλούμενα δακτυλικά, ἅπερ ἐν μὲν ταῖς ἄλλαις χώραις δακτύλους ἔχει, τελευταίαν δὲ τροχαϊκὴν συζυγίαν. ἔστι δὲ αὐτῶν ἐπισημότατα τό τε πρὸς δύο δακτύλοις ἔχον τροχαικὴν συζυγίαν, καλούμενον δὲ ἀλκαικὸν δεκασύλλαβον· (Alc. 328 Voigt)

καί τις ἐπ᾽ ἐσχατιαῖσιν οἴκεις,

καὶ τὸ πρὸς τρισί, καλούμενον πραξίλλειον· (Prax. 8 [PMG 754] Page)

ὦ διὰ τῶν θυρίδων καλὸν ἐμβλέποισα
παρθένε τὰν κεφάλαν, τὰ δ᾽ ἔνερθε νύμφα.

Hephaest. 28. 9 sqq. ὥσπερ δὲ ἐν τῷ δακτυλικῷ ἦν τι λογαοιδικόν, οὕτω κἀν τοῖς ἀναπαιστικοῖς τὸ εἰς βακχεῖον περαιούμενον, οὗ ἐστιν ἐπισημότατον τὸ μετὰ τέσσαρας πόδας αὐτὸν ἔχον τὸν βακχεῖον· ὧν ὁ πρῶτος γίνεται καὶ σπονδεῖος καὶ ἴαμβος. καλεῖται μὲν οὖν ἀρχεβούλειον ἀπὸ Ἀρχεβούλου τοῦ Θηβαίου ποιητοῦ χρησαμένου αὐτῷ κατακόρως· γέγραπται δὲ καὶ Καλλιμάχῳ· (fr. 228. 1 Pfeiffer)

ἀγέτω θεός, οὐ γὰρ ἐγὼ δίχα τῶνδ᾽ ἀείδειν·

τοῦτο μὲν οὖν ἀπὸ ἀναπαίστου· ἀπὸ δὲ σπονδείου· (fr. 228. 5)

νύμφα, σὺ μὲν ἀστερίαν ὑπ' ἄμαξαν ἤδη,

ἀπὸ δὲ ἰάμβου· (fr. 228. 43)

φιλωτέρα ἄρτι γάρ οἱ Σικελὰ μὲν Ἔννα.

[Hephaest.] 43[b] (p. 83) εὕρηνται δὲ καὶ τούτου διαφοραὶ τρεῖς· μία μέν, ἣν εἴπομεν (*scil.* τὸ κοινόν), ἑτέρα δὲ ἡ τοῦ αἰολικοῦ λεγομένη, καὶ ἡ τοῦ λογαοιδικοῦ.

Choerob. 233. 3 sqq. εἰπὼν περὶ τῶν κοινῶν δακτυλικῶν πάλιν περί τινων εἰδῶν τοῦ δακτυλικοῦ καὶ τέως τοῦ αἰολικοῦ φησί τινα εἴδη, σαφῶς ἀποδεικνὺς αὐτῶν καὶ τὸ μέτρον καὶ τὰ παραδείγματα. εἶτα ἐν τῷ τέλει φησίν, ὅτι εἰσὶ καί τινα λογαοιδικὰ καλούμενα δακτυλικά, ὧν πάλιν φησὶ τὰ παραδείγματα καὶ τὰ μέτρα, σαφῆ ὄντα καὶ σχεδὸν ἐξηγήσεως μὴ δεόμενα. λογαοιδικὰ δ' ἐκλήθησαν, ἐπειδὴ ἔν τισιν ἴσα ἀμέτροις δοκοῦσιν ὡς ἐπὶ λόγου εἶναι ἄνευ τινὸς μέτρου διὰ τὸ ἄρρυθμον.

Trich. 379. 14 sqq. περὶ λογαοιδικοῦ. τὸ δὲ λοιπὸν εἶδος τοῦ δακτυλικοῦ τὸ καλούμενον λογαοιδικὸν δακτυλικόν, ἀντιπαθὲς καὶ οἷον ὑπεναντίον ἐστὶ τῷ αἰολικῷ. τὸ μὲν γὰρ καταρχὰς ἕνα τῶν δισυλλάβων ἐδέχετο, τοῦτο δὲ κατὰ τὸ τέλος, πλὴν οὐκ ἀδιαφόρως τὸν τυχόντα, ὡς ἐκεῖνο, ἀλλ' ὡρισμένως διποδίαν τροχαικήν· ἐν δὲ τῇ ἀρχῇ δακτύλους δύο ἢ τρεῖς ἢ τέσσαρας. ὀνομάζεται δὲ τὸ τοιοῦτον μέτρον λογαοιδικόν, ὅτι ἐκ δακτύλων σύγκειται καὶ τροχαίων. ἔστι δὲ ὁ μὲν δάκτυλος ἀοιδοῖς καὶ ποιηταῖς προσφορώτατος, ὁ δὲ τροχαῖος λογογράφοις. διὰ τοῦτο καὶ Ἑρμογένης ἐν ταῖς ἰδέαις (I 3 [RhG II, p. 279. 21 Spengel = p. 232. 8 sqq. Rabe]) περὶ καθαρότητος διδάσκων λέγει καθαρὰν εἶναι συνθήκην τὴν λογοειδῆ, λογοειδῆ λέγων τὴν ἐξ ἰάμβων καὶ τροχαίων συντεθειμένην. οἱ γὰρ πεζοὶ λόγοι ἐκ τοιούτων ὡς τὰ πολλὰ ποδῶν αὐτομάτως σύγκεινται.

Trich. 381. 28 sqq. ὡς δὲ ὁ δάκτυλος οἰκειοῦται τῷ τροχαίῳ ὡς ἀπὸ μακρᾶς ἀρχομένῳ καὶ λήγοντι εἰς βραχεῖαν καθὰ καὶ αὐτὸς ὁ δάκτυλος, οὕτω καὶ ὁ ἀνάπαιστος οἰκεῖός ἐστι τῷ ἰάμβῳ, ὡς ἀπὸ βραχείας ἀρχομένῳ ὁμοίως αὐτῷ. διὰ τοῦτο τὸ μὲν δακτυλικὸν λογαοιδικὸν ἐπὶ τέλει τροχαικὴν ἐδέχετο διποδίαν, τὸ δὲ ἀναπαιστικὸν λογαοιδικὸν ἴαμβον.

Tzetz. *de metr.* 314. 23 sqq.

περὶ τοῦ ἡρωικοῦ μέτρου.
τὸ μέτρον τὸ δακτυλικόν, ὅπερ ἐστὶν ἡρῷον,
τρεὶς ἔχει τὰς διαφοράς· τρισσῶς γὰρ καὶ καλεῖται·
δακτυλικόν, αἰολικὸν καὶ λογαοιδικόν τε·
ἀφ' ὧνπερ τὸ δακτυλικὸν πρὸς πᾶσαν χώραν ἔχει
δάκτυλον, παλιμβάκχειον, ἀμφίμακρον, σπονδεῖον.

Tzetz. *de metr. Pind.* 60. 3 sqq.

ἕβδομον λογαοιδικὸν, ἐξ ἀναπαιστικῶν δε.
εὕρηται λογαοιδικὸν πάλιν ἐν τοῖς δακτύλοις,
πλὴν μάνθανε διαφορὰν τῶν λογαοιδικῶν δε.
ἐν τοῖς δακτύλοις δάκτυλοι, ὁ ὕστερος τροχαῖος
κείμενοι κατεργάζονται τὸ λογαοιδικόν σοι·
ὅθεν στίχοι ἡρωϊκοὶ λήγοντες εἰς τροχαῖον,
τῶν ἄλλων ὄντων δακτύλων ἢ καί που καὶ σπονδείου,

καλοῖντο λογαοιδικοί. λέγονται δ᾽ οὕτως ὅτι
ἐκ τῶν δακτύλων σύγκεινται ἐσχάτου τοῦ τροχαίου.
δάκτυλος ἐπιτήδειος τοῖς ἀοιδοῖς τυγχάνει,
τροχαῖος ἐπιτήδειος τοῖς λογογράφοις ἔστιν·
ἐκ τούτων δὲ καὶ τοὔνομα συντίθεται τῷ μέτρῳ,
τοῦτ᾽ ἐστὶ λογαοιδικὸν, ἀλλὰ δακτυλικόν τε.

Tzetz. in Aristoph. prol. XIII 23 sqq. (p. 53 Koster) ἔστι δέ τινα καὶ λογαοιδικὰ καλούμενα δακτυλικά, ἅπερ ἐν μὲν ταῖς ἄλλαις χώραις δακτύλους ἔχει, τελευταίαν δὲ τροχαικὴν συζυγίαν.

Tzetz. in Aristoph. prol. XIII 32 sqq. (p. 53 Koster) ὥσπερ δὲ ἐν τῷ δακτυλικῷ ἦν τι λογαοιδικόν, οὕτω κἀν τοῖς ἀναπαιστικοῖς τὸ εἰς βακχεῖον (⏑ – –) *α* [(– – ⏑) *β*] περαιούμενον, οὗ ἐστιν ἐπισημότατον τὸ μετὰ τέσσαρας πόδας αὐτὸν ἔχον τὸν βακχεῖον· ὧν ὁ πρῶτος γίνεται καὶ σπονδεῖος καὶ ἴαμβος.

Isaac Mon. 191. 21 sqq. ἔστι δέ τινα καὶ λογαοιδικὰ καλούμενα δακτυλικά, ἅπερ ἐν μὲν ταῖς ἄλλαις χώραις δάκτυλος ἔχει, τὴν τελευταίαν δὲ τροχαικὴν συζυγίαν.

Anon. Harl. 20. 10 sqq. ὥσπερ δὲ ἐν τῷ δακτυλικῷ (*scil.* μέτρῳ) ἦν τὸ λογαοιδικόν, οὕτω κἀν τοῖς ἀναπαιστικοῖς τὸ εἰς βακχεῖον περαιούμενον, οὗ ἐστιν ἐπισημότατον τὸ μετὰ τέσσαρας πόδας αὐτὸν ἔχον τὸν βακχεῖον, ὧν ὁ πρῶτος γίνεται καὶ σπονδεῖος καὶ ἴαμβος.

Schol. rec. in Pind. *Ol.* 4 (p. 171. 10 sqq. Abel) τὸ ζ´ λογαοιδικόν. ἐξ ἀναπαίστων δὲ ἢ δακτύλων σύγκειται τοῦτο τὸ μέτρον, ἐνταῦθα δὲ ἐκ σπονδείων, πλὴν τῆς τελευταίας οἰκεῖοι δὲ καὶ οἱ σπονδεῖοι ἀναπαίστοις.

Schol. vet. in Aristoph. *ran.* 674 sqq. (p. 93 Chantry) δακτυλικὰ καὶ καθαρὰ καὶ λογαοιδικὰ καὶ ἀναπαιστικά.

Schol. A in Hephaest. 130. 8 sqq. ὅτι ὁ μὲν δάκτυλος ἀοιδοῖς μᾶλλον ἐπιτήδειος, ὁ δὲ τροχαῖος λογογράφοις, λογαοιδικὸν καλεῖται τὸ μέτρον, ἀοιδικὸν μὲν διὰ τὸν δάκτυλον, ἐπειδὴ εὔρυθμος, λογικὸν δὲ διὰ τὸν τροχαῖον. διὸ καὶ οἱ παλαιοὶ κέχρηνται αὐτῷ, ὅτε θέλουσι τρέχειν λόγον· τοιαύτη δὲ ἡ ῥητορικὴ καταλογάδην οὖσα.

Schol. A in Hephaest. 130. 16 sqq. δακτυλικὸν λογαοιδικὸν, ὃ καλεῖται ἀλκαικὸν δεκασύλλαβον· (Alc. 328 Voigt)

καί τις ἐπ᾽ ἐσχατιαῖσιν <οἴκεις>.

Schol. A in Hephaest. 130. 19 sqq. δακτυλικὸν λογαοιδικὸν τὸ καλούμενον πραξίλλειον· (Prax. 8 [PMG 754]. 1 Page)

ὦ διὰ τῶν θυρίδων καλὸν ἐμβλέποισα.

Schol. B in Hephaest. 272. 2 sqq. περὶ δακτυλικοῦ. τὸ τοίνυν δακτυλικὸν βαίνεται μὲν κατὰ μονοποδίαν, αὔξεται δὲ μέχρι ποδῶν ἕξ. ἔχει δὲ διαφορὰς τρεῖς· τὸ μὲν γὰρ αὐτοῦ ἐστι κοινὸν δακτυλικόν, τὸ δὲ αἰολικόν, τὸ δὲ λογαοιδικόν.

Schol. B in Hephaest. 275. 1 sqq. περὶ τοῦ λογαοιδικοῦ. τὸ λογαοιδικὸν δὲ καὶ αὐτὸ ἐν μὲν ταῖς ἄλλαις χώραις ὁμοίως δακτύλους ἔχει, τελευταίαν δὲ τροχαικὴν συζυγίαν· καὶ τοῦ μὲν πρὸς δυσὶ δακτύλοις τροχαικὴν ἔχοντος συζυγίαν, καλουμένου δὲ ἀλκαικοῦ, παράδειγμα τό· (Alc. 328 Voigt)

καί τις ἐπ᾽ ἐσχατιαῖσιν οἴκεις.

τοῦ δὲ πρὸς τρισί, καλουμένου πραξιλλείου τό· (Prax. 8 [PMG 754] Page)

ὦ διὰ τῶν θυρίδων καλὸν ἐμβλέποισα,
παρθένε τὰν κεφαλάν, τὰ δ᾽ ἔνερθε νύμφα.

ἡ δὲ τροχαικὴ συζυγία ἐνταῦθα ἢ διτρόχαιός ἐστιν ἢ ἐπίτριτος δεύτερος.

[Acron] in Hor. exp. metr. I, p. 8. 8 sqq. Keller nona ᾠδή tricolos est tetrastrophos. nam primi duo versus, qui alcaici vocantur, constant penthemimeri iambica et duobus dactilis. tertius dimeter est iambicus hypercatalecticus. quartus vero logaoedicus, qui fit ex duobus dactilis et duobus troch<a>eis. hic autem versus <ἐπᾴδεται>, idest ultimus versus cantandus ac per hoc succinendus. utiturque hac metri compositione tricies sexies.

Apthon. GL VI 70. 13 sqq. habet autem (*scil.* dactylicus hexameter) sedes sex, quas Aristoxenus musicus χώρας vocat. recipit etiam pedales figuras tres: has Graeci dicunt ποδικὰ σχήματα. nam aut in sex partes dividitur per monopodian, aut in tres per dipodian et fit trimetrus, aut in duas per κῶλα duo, quibus omnis versus constat, dirimitur. e cuius genere hae metrorum species gignuntur, diphilium seu choerilium, logaoedicum seu archebulium, aeolicum sive sapphicum et cetera, de quorum statu ac ratione suo loco dicemus (p. 111. 26 sqq. et 110. 34 sqq.).

Apthon. GL VI 111. 26 sqq. his (*scil.* generibus metrorum quae a pentametro profluunt) logaoedicam metri speciem, quae et enoplios et archebulios dicitur, non absurde coniunxerim, adaeque dactylici metri subolem, scilicet cum trochaica basi versus clauditur duobus vel tribus vel quattuor dactylis praeeuntibus, prout carminis mensura aut ratio exegerit. cuius generis est etiam hoc, quod ex duobus dactylis et duobus conectitur trochaeis et appellatur alcaicum decasyllabum, ut est:

laurea Nyctelio corona;

item e tribus dactylis et duobus trochaeis, ut:

quadrupedante ciet pede primus aequor;

rursus e quattuor et duobus trochaeis, ut:

Romulidae pedites Arabum populis amici.

quae species et in anapaestico versu reperietur, ita dumtaxat, ut postrema eius clausula bacchio a brevi incipiente terminetur et pro anapaesto non numquam spondeus ponatur. [*S.D.B.*]